# Ζ΄.

## ΤΟΥ ΑΥΤΟΥ,

## ΕΡΜΗΝΕΙΑΙ ΕΙΣ ΚΟΙΝΟΛΕΞΙΑΣ.

---

### (*) 1. Περὶ τοῦ ὀνόματος τοῦ Κερατᾶ.

| Τέτριπται ἐν τῇ συνηθείᾳ τοῦ βίου τὸ τοῦ Κερατᾶ ὄνομα, κἀκείνοις τοῦτο προστρίβεται, ὅσοις ἡ σύνοικος παρ' ἑτέροις ἐναγκαλίζεται· καὶ δοκεῖ πως ὁ λόγος ἄλογος εἶναι, οὐκ ἔχων αἰτίαν, ἥτις τὴν προσηγορίαν ταύτην καινοτομεῖ· οὐ γὰρ οἷς ἡ ὁμευνέτις μοιχᾶται, κέρατα τῶν κροτάφων ἐκκρούει, οὐδὲ αὐτοὶ ἐξεπίτηδες κέρασιν ἑαυτοὺς καθοπλίζουσι· οὐ πρὸς ἀλλήλους διακυρίττονται, οὐχ ἑτέροις τὰς κεφαλὰς προσαρράσουσιν, οὐ πίτυλα ἐκκρεμμανῦσι τοῦ μετώπου, οὐκ ἄλλο τι τῶν κερασφόρων ἐκ τοῦ φανεροῦ ἰδίωμα ἐπιδείκνυνται. Ὅθεν παντάπασι δοκεῖ ἄπορον, ὁπόθεν ἡ πλάσις τοῦ ὀνόματος γέγονεν· ἵνα δέ σοι [ἡ]μεῖς τὴν ἀληθεστάτην παραστήσωμεν τοῦ πράγματος ἔννοιαν, αὐτοὺς πρώτους διέλωμεν, ὅσοις αἱ γυναῖκες κοινωνίαν πρὸς ἕτερα λέκτρα ἐσχήκασι· θῶμεν οὖν μὴ πάντας αὐτοὺς ὁμοίους εἶναι, ἀλλὰ τοὺς μὲν ἀγριαίνειν ἐπὶ τῷ πράγματι, καὶ μετὰ θορύβου πάντα ποιεῖν, τοὺς δὲ τιθασσοὺς εἶναι, καὶ ἡμέ- φ. 191r.

(*) Ἐκ τοῦ ὑπ' ἀριθμὸν 10,014 ἑλληνικοῦ κώδικος τοῦ Βρεττανικοῦ Μουσείου (Additional MS., Frederick North).